# 24-09 ΑΚΟΛΟΥΘΙΑ

## Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης Καί τῆς Παναγίας τῆς Μυρτιδιωτίσσης

(24η Σεπτεμβρίου)

Μετὰ τὸν Ἑξάψαλμον,...
Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις
Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον τῆς Παναγίας.
Ἦχος δ΄.
Ταχὺ προκατάλαβε.

Λαοί νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ἄσωμεν ἄσμασι, τῇ Θεομήτορι, ἐν πόθῳ, κραυγάζοντες˙ Χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων˙ Χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ˙ Χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύσασα.

Δόξα...Ἀπολυτίκιον τῆς Ἁγίας Θέκλης
Ἦχος δ΄. Ταχὺ προκατάλαβε. (Γερασίμου)

Τοῦ Παύλου συνέκδημος, ὡς καθαρά τὴν ψυχήν, καὶ πρώταθλος πέφηνας, ἐν γυναιξὶν εὐκλεῶς, Χριστὸν ἀγαπήσασα· σὺ γὰρ τῆς εὐσεβείας, πτερωθεῖσα τῷ πόθῳ, ἤθλησας ὑπὲρ φύσιν, Ἰσαπόστελε Θέκλα· διὸ σὲ ὁ Πανοικτίρμων νύμφην ἠγάγετο.

Καὶ νῦν...

Ἀπολυτίκιον τῆς Παναγίας.
Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Λαοί νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ἄσωμεν ἄσμασι, τῇ Θεομήτορι, ἐν πόθῳ, κραυγάζοντες˙ Χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων˙ Χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ˙ Χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύσασα.

Συναπτὴ μικρά καί ἡ Ἐκφώνησις
Ὅτι σὸν τὸ κράτος...

## ΚΑΘΙΣΜΑΤΑ

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀνατέταλκεν ἰδού, σήμερον ἔαρ νοητόν, ἐν εὐσήμῳ ἑορτῇ τῆς Θεοτόκου καὶ τερπνῶς, εὐωδιάζει τὴν Νῆσον τῶν Κυθηραίων· χάριν ἐφαπλοῖ, τὴν οὐράνιον, πᾶσι τοῖς φαιδρῶς ἑορτάζουσι, καὶ τὴν αὐτῆς Εἰκόνα προσκυνοῦσι, τὴν σεβασμίαν καὶ μέλπουσι· Παρθένε χαῖρε, τῶν Κυθηραίων, δόξα τεῖχος καὶ σκέπη.

Δόξα... Ὅμοιον.

Κολυμβήθρα Σιλωάμ, τοῖς Κυθηραίοις ἀληθῶς, ἀνεδείχθη καὶ πηγή, τῶν ἰαμάτων ὁ ναός, τῆς Παναγίας Παρθένου ἐν Μυρτιδίοις, λύσιν γὰρ ἐκεῖ, ὁ παράλυτος, νόσου τῶν δεσμῶν ἐκομίσατο, καὶ σὺν αὐτῷ σκιρτῶσιν αἱ χορεῖαι, τῶν ἰαθέντων καὶ μέλπουσι· Παρθένε χαῖρε, τῶν ἰαμάτων, κρήνη ὄντως πλουσία.

Καὶ νῦν.... Ὅμοιον.

Ἐξ εὐνοίας σου πολλῆς, τῷ Κυθηραίων εὐσεβεῖ, ἀπεκάλυψας λαῷ τὴν σὴν Εἰκόνα θαυμαστῶς, στεφανουμένην τοῖς ἄνθεσι τῆς μυρσίνης, κρήνην δαψιλῆ τῶν ἰάσεων, χάριτος πηγήν, ὡς ἀκένωτον· εὐχαριστοῦντες ὅθεν σοι τὸν ὕμνον, χαρμονικῶς ἀναμέλπομεν· Παρθένε χαῖρε, τῶν Κυθηραίων, θεῖον ἄφθιτον κλέος.

Μετὰ τὴν β´ Στιχολογίαν

Ἦχος γ´. Τὴν ὡραιότητα.

Σήμερον ἅπασα, νῆσος ἀγάλλεται, τῇ πανηγύρει σου, Θεοχαρίτωτε, καὶ ἐν κυμβάλοις ψαλμικοῖς, βοᾷ σοι εὐφραινομένη· Χαῖρε ἡ ἀπόπληκτον, θαυμαστῶς θεραπεύσασα· Χαῖρε ἡ τοῖς κάμνουσι, δωρουμένη τὴν ἴασιν· Κυθήρων χαῖρε δόξα καὶ κλέος· χαῖρε ἡ Κεχαριτωμένη.

Δόξα. Ὅμοιον.

Νῦν προφητόφθεγκτος, ῥῆσις πεπλήρωται, ἀντὶ κονίζης γάρ, ἀνέβη εὔοσμος, μυρσίνη δεῖγμα θεϊκῆς, εὐνοίας Κυθήρων νήσῳ· αὕτη εὐσεβείᾳ γάρ, κοσμουμένη ἠξίωται, ὄλβον ὡς οὐράνιον, τὴν Εἰκόνα σου δέξασθαι, Παρθένε καὶ συμφώνως βοᾷ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Καὶ νῦν. Ὅμοιον.

Ἐπισκιάσει σου, ἡ πρώην ἄσημος, νησὶς δεδόξασται, Ἄχραντε Δέσποινα, τῶν Κυθηραίων ταύτῃ γάρ, παρέσχες τὴν σὴν Εἰκόνα· θεῖον ὡς θησαύρισμα, καὶ πηγὴν ἁγιάσματος, ὅθεν Ἀειπάρθενε, συγκαλεῖ κτίσιν ἅπασαν, συμφώνως σοι τὸν ὕμνον βοῆσαι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τόν Πολυέλεον

Ἦχος πλ δ´. Τὴν Σοφίαν καὶ λόγον.

Παραλύτῳ τὴν ῥῶσιν, Μῆτερ Θεοῦ, θαυμαστῶς ἐδωρήσω, καὶ τῶν δεσμῶν, αὐτὸν ἠλευθέρωσας, Μυρτιδίων ἐν οἴκῳ σου· καὶ τὸν ἀποπληξίᾳ νοσήσαντα ἔσωσας, ἐπικαμφθεῖσα θρήνοις, λαοῦ καὶ δεήσεσι· πλείστοις ἀσθενοῦσι, τὴν ὑγείαν παρέσχες, καὶ πάντας ἐξήγαγες, δυσχερῶν περιστάσεων, Κυθηραίους βοῶντάς σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσκυνοῦσι, τὴν σεπτὴν Εἰκόνα σου.

Δόξα. Ὅμοιον.

Πειρατῶν ἀπεκρούσω, τὰς προσβολάς. Ἀνομβρίας τε ἔλυσας τὸν αὐχμόν, καὶ θαύματι φρούριον, τῶν Κυθήρων διέσωσας, τῆς κεραυνῶν μανίας, λιμοὺς ἀπεσόβησας, ἐπιδρομῆς τε ἐχθρῶν, τὴν νῆσον ἐφύλαξας, νόσων λοιμικῶν τε, παραδόξως ἐρύσω, δι᾽ ὃ χαριστήρια, σοὶ κροτοῦμεν ἐφύμνια, ἐκ βαθέων βοῶντές σοι· πρέσβευε Χριστῷ τῷ

Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσκυνοῦσι, τὴν σεπτὴν Εἰκόνα σου.

Καὶ νῦν. Ὅμοιον.

Τὴν ἁγίαν σου κλῆσιν Μῆτερ Θεοῦ, εὐσεβεῖς Κυθηραῖοι πανευλαβῶς, ἐν χείλεσιν ἔχομεν, καὶ φωνοῦντές σε πάντοτε, δυσχερειῶν τοῦ βίου, κινδύνων καὶ θλίψεων, ἀσθενειῶν ποικίλων, καὶ νόσων λυτρούμεθα· Σὲ γάρ προστασίαν, ἐν νυκτὶ καὶ ἡμέρᾳ, Παρθένε γινώσκομεν, καὶ ταχεῖαν ἀντίληψιν, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσκυνοῦσι, τὴν σεπτὴν Εἰκόνα σου.

Τὸ α΄Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δὶς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον Ἦχος δ΄

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. (δὶς)

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον τοῦ Ὄρθρου,

Ἐκ τοῦ κατὰ Λουκᾶν...

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μριάμ...

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Παναχράντου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἰδιόμελον. Ἦχος πλ β΄.*

Σήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τῆς Θεοτόκου αὐγάζετε ἀκτῖσι, καὶ τῶν Κυθηραίων ἡ νῆσος, τοῖς ἄνθεσι ὡραϊζομένη, μυρσίνης ἀναμέλπει· Παρθένε Ἁγνή, Ὀρθοδόξων τὸ καύχημα, μὴ διαλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ΄)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

*Τῆς Θεοτόκου, οὗ ἡ Ἀκροστιχίς,*
*Ἦχος α΄. Ὠδὴ α΄.*
*Πεποικιλμένη τῇ θείᾳ δόξῃ.*

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Καλλιεπείας παράσχου λόγον, ὁ τῆς σοφίας χορηγός, ἐξ ὕψους πέμπων μοι, θρόνου τοῦ ἀστέκτου σου, σοφίαν πάρεδρον Χριστέ, ὅπως ᾄσω ἐν ᾠδαῖς, τὴν Κυθηραίων προστάτιν, καὶ σὴν Ἄχραντον ὑπερφυῶς, Μητέρα ὅτι δεδόξασται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑμνολογεῖ σε Κυθήρων νήσου, ὁ εὐλαβέστατος λαός, ἐνθέοις ᾄσμασιν, ὅτι τὴν Εἰκόνα σου, νῦν ἐφανέρωσας αὐτῷ, καὶ ἐξίσταται ὁρῶν, τὴν ἐπ' αὐτῷ εὔνοιάν σου· πηγήν σε γάρ πάντων ἀγαθῶν, γινώσκει Ἄχραντε Δέσποινα.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θαυματουργοῦσα βραβεύεις ῥῶσιν, τῷ παραλύτῳ ὑπὲρ νοῦν, Παρθένε Ἄχραντε, πίστει δεομένῳ σου, ἐν Μυρτιδίων τῷ ναῷ καὶ ὡς ἔλαφος σκιρτῶν, ὑμνολογεῖ σου τὸ θαῦμα πηγὴν ἄφθονον τῶν δωρεῶν, κηρύττων καὶ μεγαλύνων σε.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἠμφιεσμένη τὴν θείαν δόξαν, τῶν Κυθηραίων ἡ νησίς, ἡ πρώην ἄδοξος, ὤφθη τῆς Εἰκόνος σου, τῇ φανερώσει θαυμαστῶς, καὶ κινδύνων διὰ σοῦ, καί πειρασμῶν ἐκλυτροῦται· διὸ ὕμνον σοι ἀναβοᾷ, ἐνδόξως ὅτι δεδόξασται.

*Τῆς Ἁγίας, Ὠδὴ α'*

*Ἦχος πλ. δ' Ἄσωμεν τῷ Κυρίῳ*

*Στίχ.* Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἦχος γλώττης οὐ σθένει, τοὺς πανευκλεεῖς τῆς Πρωτομάρτυρος, διηγήσασθαι ἄθλους· ἀτονεῖ γὰρ πρὸς ὕμνον ἐπάξιον.

*Στίχ.* Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πέπαυται τοῦ τυράννου, ἡ ἀλαζονεία ἡ ὑπεροφρύς, κατὰ τούτου γυναῖκες· εὐσεβῶς ἐν Χριστῷ γὰρ ἠνδρίσαντο.

Δόξα...

Ῥήμασιν ἀπορρήτοις, εὐαγγελικῶς ἐνηχηθεῖσά σου, παμμακάριστε Παῦλε, τῷ Χριστῷ ἡ παρθένος νενύμφευται.

Καὶ νῦν... *Θεοτοκίον*

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμεν σε.

*Τῆς Θεοτόκου*

*Ὠδὴ γ'. Ἡ δημιουργική, καὶ συνεκτική.*

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥωσθεὶς ὑπερφυῶς ὁ ἀποπληξίᾳ νοσήσας, λαοῦ πανδήμοις δεήσεσιν, ἐκβοᾷ σὺν δάκρυσιν, εὐγνωμοσύνης δόξα σοι Χριστὲ, ὅτι τὴν τεκοῦσαν σὲ, τῶν ἰαμάτων πηγὴν ἀνέδειξας.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνάσσουσα τῆς γῆς καὶ τῶν οὐρανῶν ἐν ὑψίστοις, τῇ σῇ προνοίᾳ ηὐδόκησας, Κυθηραίων Δέσποινα, ἐπισκιᾶσαι νῆσον ταπεινήν, ὅθεν σὲ γεραίρουσα ὑμνολογεῖ σου τὴν συγκατάβασιν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰᾶσαι θαυμαστῶς, τῆς παραφροσύνης ἱκέτην, τὴν σὴν αἰτοῦντα βοήθειαν· Σὲ γὰρ εἶδεν Ἄχραντε ὑπερφυῶς κατ' ὄναρ ἐν νυκτὶ, σώφρων ὅθεν γέγονεν, ἐγκωμιάζων τὴν εὐσπλαχνίαν σου.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὠλώλυξε δεινῶς τῶν πειρατευόντων τὰ στίφη, τῇ σῇ δυνάμει ὀλλύμενα· ἡ δὲ νῆσος ἅπασα

εὐγνωμονοῦσα ὕμνους σοι βοᾷ, τεῖχος ἀπροσμάχητον, κατ' ἐναντίων ὁμολογοῦσά σε.

Τῆς Ἁγίας

Ὠδὴ γ' Σὺ εἶ τὸ στερέωμα

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῆς ἀγαπήσεως, τῆς ὑπὲρ ἔννοιαν Πάνσεπτε! ᾗ ἐν Χριστῷ, Παύλῳ συνεδέθης, ἑνωθεῖσα τῷ Πνεύματι.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τρῶσαι ἡ ἐνήδονος, τὴν τετρωμένην σου ἔρωτι, πνευματικῷ, φρένα οὐκ ἰσχύει, τῶν γηΐνων ἀπόλαυσις.

Δόξα...

Ὅλη ἐκδημήσασα, τῶν τῆς σαρκὸς παθῶν ῥήμασι, τοῖς μητρικοῖς, οὐκ ἐμαλακίσθης, Ἀθληφόρε πανεύφημε.

Καὶ νῦν... Θεοτοκίον

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τάς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κοντάκιον τῆς Ἁγίας

Ἦχος πλ. δ' Ὡς ἀπαρχὰς

Τῆς παρθενίας τῷ κάλλει ἐξέλαμψας, μαρτυρίου στεφάνῳ κεκόσμησαι, ἀποστολὴν πιστεύῃ παρθένε ὡς ἔνδοξος, καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα, εἰς δρόσον μετέβαλες, τοῦ ταύρου δὲ τὸν θυμόν, προσευχῇ σου ἡμέρωσας ὡς πρωτόαθλος.

Ὁ Οἶκος

Ἑορτῆς σεβασμίας ἡ ἔλλαμψις, ὑπερλάμπει φαιδρῶς ὑπὲρ ἥλιον· μαρμαρυγὰς γὰρ φωτὸς ἀπαστράπτουσα, τοῖς πιστῶν ὀφθαλμοῖς ἐνοπτρίζεται· διὸ Ἀγγέλοις συγχορεύοντες, τῷ Σωτῆρι Θεῷ ἀλαλάξωμεν πάντες, βοῶντες αὐτῷ· Ἐμεγάλυνας Σῶτερ τὰ ἐλέη σου, δωρησάμενος δώρημα τέλειον τῷ λαῷ, τὴν Πρωτόαθλον.

Κάθισμα

Ἦχος πλ. δ' Τὴν σοφίαν καὶ Λόγον

Εἰς ἀνδρίαν τὸ θῆλυ δι' ἀρετῶν, μεταθεῖσα τῷ πόθῳ τῷ τοῦ Χριστοῦ, Θεοῦ οἰκητήριον, ἀμφοτέρωθεν γέγονας· τῶν παθῶν γὰρ τὸν γνόφον, ἀσκήσει μειώσασα, μαρτυρικῶς ἐδείχθης, ἀθλήσεως καύχημα· ὅθεν καὶ τῷ κόσμῳ, ὡς φωστὴρ διαλάμπεις, δισσῶς ἐξαστράπτουσα, τάς ἀκτῖνας τοῦ Πνεύματος, Πρωτομάρτυς πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον· ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἀξίως, τὴν δόξαν σου Ἄχραντε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς...

Κοντάκιον τῆς Παναγίας

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὡς λαμπρὸν διάδημα, καὶ θεοδώρητον στέφος, τὴν σεπτὴν εἰκόνα σου, τῶν Κυθηραίων ἡ νῆσος, κέκτηται τὴν ἐν μυρσίναις φανερωθεῖσαν, Δέσποινα Θεοχαρίτωτε καί συμφώνως, σοὶ τὸν ὕμνον ἀναμέλπει· Παρθένε χαῖρε, πάντων ἡμῶν ἡ χαρά.

Ὁ Οἶκος

Πειρωμένῳ μοι νῦν διηγήσασθαι τά κλεινά σου Παρθένε τεράστια, οὐρανόθεν σοφίαν κατάπεμψον ἡ ἀσόφους ἐνθέως σοφίζουσα καὶ πηγὴ τῆς σοφίας ὑπάρχουσα. Καὶ σαφῶς ἐν ἀνοίξει τοῦ στόματος χάριν λόγου παράσχου μοι Δέσποινα, ὅπως ᾄσω ἐν ὕμνοις γηθόμενος τῆς σεπτῆς σου Εἰκόνος τὴν εὕρεσιν, ἥν εὐνοίας ὡς δεῖγμα δεδώρησαι Κυθηραίων τῇ νήσῳ Θεόνυμφε. Καὶ παράσχου ἐξ ὕψους μοι δύναμιν παραλύτου ὑμνεῖν τὴν ἀνόρθωσιν, ἀποπλήκτου τὴν ἄρρητον ἴασιν, ναυτικῶν ἐν κινδύνοις διάσωσιν, κεραυνῶν καὶ πυρὸς τὴν κατάσβεσιν, λοιμικῶν νοσημάτων ἀπέλασιν, πειρατῶν προσβολῶν τὴν ἀπόκρουσιν, ἀνομβρίας αὐχμοῦ τὴν κατάπαυσιν, ἀνιάτως νοσούντων τὴν ἴασιν, καὶ τὸ πλῆθος ἑτέρων θαυμάτων σου, δι΄ ὧν σκέπη, προστάτις καὶ πρόμαχος, πολιοῦχος στερρὰ καὶ προπύργιον, εὐεργέτις καὶ μήτηρ φιλόστοργος Κυθηραίων λαοῦ ἀναδέδειξαι. Ὅθεν πίστει καὶ πόθῳ τὴν ἄπειρον ἀνυμνῶν πρὸς ἡμᾶς εὐσπλαγχνίαν σου, ἐν ψυχῆς κατανύξει κραυγάζω σοι· Παρθένε χαῖρε, πάντων ἡμῶν ἡ χαρά.

Συναξάριον

Τῇ ΚΔ΄ τοῦ Μηνός Σεπτεμβρίου, Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κόπριος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησιν ποιούμεθα τοῦ γεγονότος θαύματος παρὰ τῆς Θεομήτορος ἐν τῇ νήσῳ Κυθήρων, ἔνθα ἤγειρε τὸν παράλυτον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ἀνοίξω τὸ στόμα μου...

Ὠδὴ α΄. Ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ΄

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ΄

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καταβασία

Ὠδὴ θ'. (Ἦχος δ')

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις

παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Νῦν τῷ τεμένει δράμωμεν, Μυρτιδίων τῷ θείῳ, ὅπως ψυχῆς καί σώματος, λάβωμεν τάς ἰάσεις, παρά Μαρίας Παρθένου, καί Θεοῦ ἡμῶν Λόγου, τοῦ γεννηθέντος ἐξ αὐτῆς, ὑπέρ νοῦν τε καί λόγον, ἵνα ἡμᾶς, ἐκ χειρός ἁρπάσῃ τοῦ διαβόλου, καί πρός ζωήν αἰώνιον, καί τρυφήν ἐπανάγῃ.

Τῆς Ἁγίας .

Ἦχος β΄ Γυναῖκες ἀκουτίσθητε

Ῥωσθεῖσα καλλιπάρθενε, ταῖς θείαις εἰσηγήσεσι, τοῦ θεοκήρυκος Παύλου, φθαρτὸν μνηστῆρα παρεῖδες, καὶ τούτῳ ἠκολούθησας, Πρωτομάρτυς πολύαθλε, ὦ Θέκλα ἰσαπόστολε· διὸ καὶ νίκης τὸ στέφος παρὰ Χριστοῦ ἐκομίσω.

Θεοτοκίον ὅμοιον

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ σοῦ σεσῳσμένοι· τὸν γὰρ Θεὸν ἀπορρήτως, ἐκύησας τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς ἑαυτὸν δ΄ ἑλκύσαντα, Μαρτύρων δήμους, μεθ΄ ὧν σε, ἀνευφημοῦμεν Παρθένε.

## ΟΙ ΑΙΝΟΙ ΗΧΟΣ Δ΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ τῆς Παναγίας

Στίχ. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀσματόπλοκον στέφανον, τῇ Παρθένῳ προσοίσωμεν, ἅπαντες σήμερον ἀγαλλόμενοι, ταύτης φαιδρῶς ἑορτάζοντες, Εἰκόνος τὴν εὕρεσιν, ἣν κειμήλιον σεπτόν, κεκτημένοι βοήσωμεν, ἀναμέλποντες· τοὺς τιμῶντάς σε σῶζε ἐκ κινδύνων, ταῖς ἁγίαις σου πρεσβείαις Θεοχαρίτωτε Δέσποινα.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ἀδοξίας τῆς πρότερον, ἐλυτρώσω τὴν νῆσόν σου, καὶ εἰς δόξαν ἔνθεον ἀνεβίβασας, ταύτῃ τὴν θείαν Εἰκόνα σου, λαμπρῶς φανερώσασα, ἐξ εὐόσμων μυρσινῶν, καὶ θαυμάτων ταῖς λάμψεσι, καταυγάζουσα, Κυθηραίους προστάτιν σε εἰδότας, καὶ φαιδρῶς σε ἀνυμνοῦντας, Θεοχαρίτωτε Δέσποινα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Παραλύτῳ ἀνόρθωσιν, ἀποπλήκτῳ τὴν ἴασιν, θαυμαστῶς ἐβράβευσας τῇ Εἰκόνι σου· νήσου μακρὰν ἀπεδίωξας, λοιμὸν τὸν

πανώλεθρον, καὶ βουλὰς τῶν πειρατῶν, ὡς ἀρά πειρατῶν, ὡς ἀράχνην διέλυσας, εὐτεκνίαν τε, γυναιξὶ στειρευούσαις ἐδωρήσω, καὶ νοσοῦσι τὴν ὑγείαν, Θεοχαρίτωτε Δέσποινα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὥσπερ μήτηρ φιλόστοργος, εὐσπλαγχνίας τε πέλαγος, καὶ ἐλέους ἄβυσσος τοὺς προστρέχοντας, πίστει ναὸν εἰς τὸν θεῖόν σου, πληροῖς εὐφροσύνης τε, καὶ γαλήνης ψυχικῆς, ἐφαπλοῦσα τὴν χάριν σου, τὴν σωτήριον, ἐπὶ πάντας τοὺς πόθῳ προσκυνοῦντας, τὴν ἁγίαν σου Εἰκόνα, Θεοχαρίτωτε Δέσποινα.

Στιχηρὰ Ἰδιόμελα τῆς Ἁγίας

Ἦχος α΄

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἀθλητικὸν στάδιον σήμερον πρόκειται· λαοὶ χορεύσωμεν, καὶ τὰ ἐν αὐτῷ τελούμενα, παράδοξα πράγματα κατοπτεύσωμεν· ἄσπιλος γὰρ ἀμνάς, πρόκειται σφαγῇ, ὑπὲρ τοῦ σφαγιασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ καλλιπάρθενος Θέκλα καὶ θεόνυμφος· διὸ Τριάδος τῇ πίστει, τὴν τῶν τυράννων κατήργησεν ἀθεότητα· καὶ σύν Ἀγγέλοις χορεύουσα, τῷ Σωτῆρι πρεσβεύει, σωθῆναι τάς ψυχὰς ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Νυμφίον ἔχουσα ἐν οὐρανοῖς, Χριστὸν τὸν Θεὸν ἡμῶν, νυμφῶνος κατεφρόνησας τοῦ ἐπιγείου καὶ μνηστῆρος, Θέκλα πρώταθλε· ταῖς γὰρ μητρῴαις θωπείαις ἐμφρόνως μὴ πεισθεῖσα, Παύλῳ ἠκολούθησας, ἐπ΄ ὤμων ἀραμένη τὸ σημεῖον τοῦ Σταυροῦ, καὶ τὸ μὲν πῦρ οὐκ ἐνάρκησας, τῶν δὲ θηρῶν τὴν ὠμότητα, εἰς ἡμερότητα μετέβαλες, φώκας δὲ ἀπενέκρωσας, τῇ ἐν Χριστῷ καταδύσει τοῦ ἁγίου Βαπτίσματος. Ἀλλ΄ ἐν ἄθλοις γενναίοις διαπρέψασα, μὴ διαλίπῃς πρεσβεύουσα ἀπαύστως τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος δ΄

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ἀναθεῖσα σεαυτὴν παντοδυνάμῳ νεύματι, κρατυνομένη ὡς πρώταθλος τοῦ Χριστοῦ, καὶ τὴν γεώδη καταλείψασα στοργήν, ἀνεδέξω τὴν λαμπάδα τῆς αἰωνίου ζωῆς, ὄλβιος ὑπάρξασα θάλαμος, εἰς ὅν αἱ τῶν θηλειῶν ἀγέλαι προσαναπαύονται, εἴσοδον εὐράμεναι τῆς αἰωνίου ζωῆς, μεθ΄ ὧν ἱκέτευε Ἀπόστολε Θέκλα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄ Ἀνατολίου

Στίχ. Καί ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.

Χορείας ἐγείρατε φιλομάρτυρες· τῶν ἀγώνων γὰρ ἐφέστηκεν ὁ καιρός, καὶ τῆς Πρωτομάρτυρος ἡ

ἐτήσιος μνήμη, πάντας εἰς δοξολογίαν προτρέπουσα Θεοῦ· Θέκλα γὰρ ἡ πρώτη Μαρτύρων ἐν γυναιξί, τὸ ἀθλητικὸν στάδιον ἀνύσασα, πρώτη καὶ στεφηφόρος ἀναδέδεικται, καὶ παρρησίᾳ πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... *τῆς Ἁγίας ~Ἦχος δ'*

Τὴν σὴν ὑπὲρ ἄνθρωπον ἄθλησιν, Πρωτομάρτυς Χριστοῦ, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ γένη, ἀλλὰ καὶ θῆρες τεθήπασιν ἄγριοι· αἱ φλόγες, οὐ φλόγες ἐλογίσθησάν σοι καλλιπάρθενε Θέκλα, διὰ τὸν σὸν νυμφίον Χριστόν· γέγηθας γὰρ δι' αὐτὸν πάσχουσα, καὶ κόσμου χωριζομένη, ἵνα τῆς ἐπουρανίου τύχῃς μακαριότητος, ἐν παρρησίᾳ πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν...

*τῆς Παναγίας ~Ἦχος πλ. α'.*

Ἐν εὐσήμῳ ἡμέρᾳ τῆς ἐνδόξου σου μνήμης, Κεχαριτωμένη Θεόνυμφε, Κυθηραῖοι ἅπαντες οἵ τε ἐν τῇ νήσῳ καὶ οἱ πόρρῳ αὐτῆς διατρίβοντες, ἐν τῷ πανσέπτῳ τῶν Μυρτιδίων σου ναῷ οἱ μὲν αἰσθητῶς, οἱ δέ νοερῶς παρίστανται· καὶ κλάδους αἴροντες μυρσινῶν πανευόσμων, τῆς τιμίας Εἰκόνος σου σύμβολα, ταύτην τε μετ' εὐλαβείας κυκλοῦντες, ἐν ἀγαλλιάσει ψυχῆς ἀναμέλπουσι· Χαῖρε ἡ ὡς ἀετὸς χρυσοπτέρυξ ἡμᾶς ὑπὸ τὰς πτέρυγάς σου, ἐπισυνάγουσα καὶ περιθάλπουσα· Χαῖρε ἡ τὴν σεπτήν σου Εἰκόνα ὡς οὐράνιον ὄλβον ἡμῖν δωρησαμένη, καὶ δι' αὐτῆς τὰς δωρεάς σου ἡμῖν ἀεννάως προχέουσα· Χαῖρε ἡ πληθὺν ἰαμάτων καὶ τῶν θαυμάτων ἡμῖν, ὑπερφυῶς ἐπομβρίζουσα, καὶ τοὺς θερμῶς σε φωνοῦντας παντὸς κινδύνου ἐξαίρουσα. Ἀλλ' ὦ Πανύμνητε Θεοτόκε Παρθένε, Κυθηραίων ἡ δόξα, ὑπὲρ ἡμῶν τὸν ἐκ σοῦ γεννηθέντα ἱκέτευε, ὅπως δωρήσηται ἡμῖν ἱλασμὸν τῶν πταισμάτων, καὶ βασιλείαν τὴν οὐράνιον.

*Δοξολογία Μεγάλη. ~Ἦχος*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι

ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον τῆς Παναγίας.*

*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Λαοί νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ἄσωμεν ᾄσμασι, τῇ Θεομήτορι, ἐν πόθῳ, κραυγάζοντες· Χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων· Χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ· Χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύσασα.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ἀντίφωνον Α'*

*Στίχ. α'.* Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Στίχ. β'.* Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.

*Στίχ. γ'.* Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν, ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

*Στίχ. δ'.* Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

Δόξα... Καὶ νῦν...

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

*Ἀντίφωνον Β'*

*Στίχ.* α'. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.

*Στίχ. β'.* Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στίχ. γ΄. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στίχ. δ΄. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Δόξα ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Στίχ. α΄. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.

Ἀπολυτίκιον τῆς Παναγίας.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λαοί νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ᾄσωμεν ᾄσμασι, τῇ Θεομήτορι, ἐν πόθῳ, κραυγάζοντες˙ Χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων˙ Χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ˙ Χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύσασα.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς......ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκια

Ἀπολυτίκιον τῆς Παναγίας.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λαοί νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ᾄσωμεν ᾄσμασι, τῇ Θεομήτορι, ἐν πόθῳ, κραυγάζοντες˙ Χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων˙ Χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ˙ Χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύσασα.

Τῆς Ἁγίας Θέκλης
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
(Γερρασίμου)

Τοῦ Παύλου συνέκδημος, ὡς καθαρὰ τὴν ψυχήν, καὶ πρώταθλος πέφηνας, ἐν γυναιξὶν εὐκλεῶς, Χριστὸν ἀγαπήσασα· σὺ γὰρ τῆς εὐσεβείας, πτερωθεῖσα τῷ πόθῳ, ἤθλησας ὑπὲρ φύσιν, Ἰσαπόστελε Θέκλα· διὸ σὲ ὁ Πανοικτίρμων νύμφην ἠγάγετο.

Τοῦ Ναοῦ
Κοντάκιον Ἦχος β΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος, τῆς Μεγαλομάρτυρος (24η Σεπτ.)

Προκείμενον. Ἦχος δ'

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

(κεφ. γ' στίχ.10-15)

Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις. Οἵους διωγμοὺς ὑπήνεγκα! Καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Ἀλληλούϊα. (γ') Ἦχος πλ. δ'.

Παρέστη ἡ Βασίλισσα Ἐκκλησίας δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλιμένη πεποικιλμένη.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Εὐαγγέλιον

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τό ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα

Ἤ

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς, καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτῆς. Ἀλληλούϊα

ἦχος β'

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν

τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρίς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.